## FOURTH MORNING.

I.—1. Translate:

Ἐπειδὴ μέντοι ἡ τοῦ λόγου νόησις, ἥ τε φράσις, τὰ πλείω δι' ἑκατέρου διέπτυκται, ἴθι δή, αὐτοῦ φραστικοῦ μέρους εἴ τινα λοιπὰ ἔτι, προςεπιθεασώμεθα. Ὅτι μὲν τοίνυν ἡ τῶν κυρίων καὶ μεγαλοπρεπῶν ὀνομάτων ἐκλογὴ θαυμαστῶς ἄγει καὶ κατακηλεῖ τοὺς ἀκούοντας, καὶ ὡς, πᾶσι τοῖς ῥήτορσι καὶ συγγραφεῦσι κατ' ἄκρον ἐπιτήδευμα, μέγεθος ἅμα, κάλλος, εὐπίνειαν, βάρος, ἰσχὺν, κράτος, ἔτι δὲ τἄλλα, ἂν ὦσί τινα, τοῖς λόγοις, ὥσπερ ἀγάλμασι καλλίστοις, δι' αὐτῆς ἐπανθεῖν ἐστὶ παρασκευάζουσα, καὶ οἱονεὶ ψυχήν τινα τοῖς πράγμασι φωνητικὴν ἐντιθεῖσα, μὴ καὶ περιττὸν ᾖ πρὸς εἰδότα διεξιέναι. Φῶς γὰρ τῷ ὄντι ἴδιον τοῦ νοῦ τὰ καλὰ ὀνόματα. Ὁ μέντοι γε ὄγκος αὐτῶν οὐ πάντῃ χρειώδης· ἐπεὶ τοῖς μικροῖς πραγματίοις περιτιθέναι μεγάλα καὶ σεμνὰ ὀνόματα ταὐτὸν ἂν φαίνοιτο, ὡς εἴ τις τραγικὸν προσωπεῖον μέγα παιδὶ περιθείη νηπίῳ.

LONGINUS, *Sect.* 30.

(α') αὐτοῦ φραστικοῦ—what different readings?
(β') τῶν κυρίων—how do you interpret?
(γ') ἄγει καὶ κατακηλεῖ—what is the difference?
(δ') κατ' ἄκρον ἐπιτήδευμα—what different reading?
(ε') εὐπίνειαν—whence derived?
(ϛ') μὴ καὶ περιττὸν ᾖ—what is the construction? Illustrate it by parallels.

II.—1. Translate:

Μέρη δὲ τραγῳδίας, οἷς μὲν ὡς εἴδεσι δεῖ χρῆσθαι, πρότερον εἴπομεν· κατὰ δὲ τὸ ποσὸν, καὶ εἰς ἃ διαιρεῖται κεχωρισμένα, τάδε ἐστί· Πρόλογος, Ἐπεισόδιον, Ἔξοδος, Χορικόν· καὶ τούτου, τὸ μὲν Πάροδος, τὸ δὲ Στάσιμον. Κοινὰ μὲν οὖν ἁπάντων ταῦτα· ἴδια δὲ, τὰ ἀπὸ τῆς σκηνῆς, καὶ Κόμμοι. Ἔστι δὲ Πρόλογος μὲν, μέρος ὅλον τραγῳδίας τὸ πρὸ χοροῦ Παρόδου· Ἐπεισόδιον δὲ μέρος ὅλον τραγῳδίας, τὸ μεταξὺ ὅλων χορικῶν μελῶν· Ἔξοδος δὲ, μέρος ὅλον τραγῳδίας, μεθ' ὃ οὐκ ἔστι χοροῦ μέλος. Χορικοῦ δὲ, Πάροδος μὲν, ἡ πρώτη λέξις ὅλου χοροῦ· Στάσιμον δὲ, μέλος χοροῦ, τὸ ἄνευ ἀναπαίστου καὶ τροχαίου. Κομμος δέ, θρῆνος κοινὸς χοροῦ καὶ ἀπὸ σκηνῆς. Μέρη μὲν οὖν τραγῳδίας, οἷς μὲν δεῖ χρῆσθαι πρότερον εἴρηται· κατὰ δὲ τὸ ποσὸν, καὶ εἰς ἃ διαιρεῖται κεχωρισμένα, ταῦτ' ἐστίν.

ARISTOTLE, *Poet.* 24.

2. Πρόλογος—(α') What objection urged by Aristophanes against Euripides, as to his prologues?
(β') In what extant dramas does the Chorus act as *prologus*?